εἰς τὴν Κωνσταντινούπολιν τῷ ἔτει 1589 ἐχειροτονήθη παρὰ ἱερεμίου τοῦ β΄. Κωνσταντινουπόλεως Κυθήρων ἐπίσκοπος. ὅθεν ποιμάνας τὸ ἐμπιστευθὲν αὐτοῦ ποίμνιον θεοφιλῶς καὶ θεαρέστως ἐπὶ ἔτη ιγ΄. τῷ ἔτει 1602 καὶ τῷ 80 ἔτει τῆς ἡλικίας αὐτοῦ τῆς ἀμείνονος ἐγένετο λήξεως.

1550 **Μιχαηλ** σοφιανὸς ὁ ἐκ κερκύρας (ἴσως ἀδελφὸς
• τοῦ νικολάου σοφιανοῦ), ἔγραψα

διάφορα συγγράμματα ἐξ ὧν εἰσὶ καὶ αἱ ἐπανορθώσεις αὐτοῦ εἰς τὸν Αἰσχύλον τὰς ὁποίας φραγκίσκος ὁ ῥαβορτέλλος συνεξέδοτο μετὰ τῶν τοῦ Αἰσχύλου τῷ ἔτει 1552. ἴδε τὸν ἰέχερ ἐν τῷ λεξικῷ τόμ: δ΄ στήλη 680.

σώζεται δὲ αὐτοῦ καὶ ἐπίγραμμα ἐνετίησι εἰς τὸν ναὸν τοῦ ἁγίου γεωργίου τῷ ἔτει 1564· ἴδε τὸν κρούσιον σελ: 200.

1637 **Ματθαιος** Κιγάλας ὁ ἐκ τῆς νήσου Κύπρου καὶ ἴσως ἀδελφὸς ἢ συγγενὴς Ἱλαρίωνος Κιγάλα τοῦ Κυπρίου· ἤκμαζε τῷ ἔτει 1637· συνέγραψε καὶ ἐξέδοτο

α΄ ἐνετίησι σύνοψιν ἱστοριῶν ἁπλῇ διαλέκτῳ τῷ ἔτει 1637 εἰς δ΄. ἥτις αὐτόθι καὶ ἄλλοτε πολλάκις ἐξεδόθη.

β΄. Συνταγμάτιον περιέχον Κανόνας τε καὶ εὐχὰς ἱκετηρίους.

γ΄ μετέφρασεν ἐκ τῆς ἑλληνικῆς εἰς τὴν ἁπλῆν ἡμῶν διάλεκτον τὰ συναξάρια τοῦ νικηφόρου Καλλίστου τοῦ ξανθοπούλου. ἴδε περὶ αὐτοῦ τὸν Ἀλέξανδρον ἑλλάδ: ἐν τῷ περὶ καταστάσεως τῆς ἑλληνικῆς ἐκκλ: σελ: 8· τὸν φαβρίκ. τόμ: 10 τῆς ἑλλην: βιβλιοθ: σελ: 532· καὶ τὸν ἰέχερ τόμ: α΄. στήλη 1913.

1698 **Μανουηλ** Σαρῆς ὁ ἐκ τῆς νήσου τενέδου ἰατροφιλόσοφος εἰδήμων τῆς ἑλληνικῆς λατινικῆς γαλλι-